῾γυμνάσια δ᾽ οἷσιν ἐνετράφη Δίρκης θ᾽ ὕδωρ᾽
(Eur. Phoen. 368)

παρῴδευται· κἂν εἴπῃ τις ῾οὐκ ἀκούσῃ τοῦ φιλοσόφου;᾽
῾πόθεν ἐμοί;᾽ φησίν ῾οὐ σχολάζω τοῦ πατρὸς τεθνηκότος.᾽
ὦ ταλαίπωρε, τί σοι τοιοῦτο καταλέλοιπεν οἷον ἀφῄρηται,
τὴν σχολὴν καὶ τὴν ἐλευθερίαν; μᾶλλον δ᾽ οὐκ ἐκεῖνος ἀλλ᾽
ὁ πλοῦτος περιχυθεὶς καὶ κρατήσας, ὥσπερ ἡ παρ᾽ ῾Ησιό-
527 δῳ γυνή (OD 705) | ῾εὕει ἄτερ δαλοῖο καὶ ὠμῷ γήραϊ
δῶκεν,᾽ ὥσπερ ῥυτίδας ἀώρους ἢ πολιὰς ἐπαγαγὼν τῇ
ψυχῇ τὰς φροντίδας ἐκ τῆς φιλαργυρίας καὶ τὰς ἀσχολίας,
ὑφ᾽ ὧν μαραίνεται τὸ γαῦρον καὶ τὸ φιλότιμον καὶ τὸ
φιλάνθρωπον.

8. ῾Τί οὖν;᾽ φήσει τις, ῾οὐχ ὁρᾷς καὶ χρωμένους
ἐνίους δαψιλῶς τοῖς χρήμασι;᾽ σὺ δ᾽ οὐκ ἀκούεις, φήσομεν,
᾽Αριστοτέλους λέγοντος ὅτι οἱ μὲν οὐ χρῶνται οἱ δὲ παρα-
χρῶνται, καθάπερ οὐδετέρου προσήκοντος; ἀλλ᾽ ἐκείνους
μὲν οὐκ ὠφελεῖ τὸ οἰκεῖον οὐδὲ κοσμεῖ, τούτους δὲ καὶ
βλάπτει καὶ καταισχύνει. φέρε δὴ σκεψώμεθα τὸ πρῶτον,
B ἡ χρῆσις αὕτη, δι᾽ ἣν θαυμάζεται ὁ πλοῦτος, πότερον τῶν
ἀρκούντων; οὐδὲν οὖν πλέον ἔχουσιν οἱ πλούσιοι τῶν
μέτρια κεκτημένων, ἀλλ᾽ ῾ἄπλουτος ὁ πλοῦτός ἐστιν᾽ ὥς

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id403544920/350 UNIVERSITÄT LEIPZIG